*βουλε· πάλαι γὰρ ὁ Σόλωνος ἐκλέλοιπε νόμος, τοὺς ἐν στάσει μηδετέρῳ μέρει προσγενομένους κολάζων.*

*ΑΥ. Δεῦρο δὴ καθίζου πρὸς ἡμᾶς, ὅπως, εἰ δεήσει μάρτυρος, μὴ τοῖς Ἀριστοτέλους πράγματα βιβλίοις παρέχωμεν, ἀλλὰ σοὶ δι᾽ ἐμπειρίαν ἑπόμενοι τοῖς λεγομένοις ἀληθῶς τὴν ψῆφον ἐπιφέρωμεν.*

*Σ. Εἶεν, ὦ ἄνδρες νέοι, γέγονέ τις ὑμῖν ὁμολογία περὶ τάξεως;*

*ΦΑΙΔΙΜΟΣ. Γέγονεν, ὦ Σώκλαρε, πολλὴν παρα-*
E *σχοῦσα φιλονεικίαν· εἶτα κατ᾽ Εὐριπίδην* (fr. 989)

*'ὁ τῆς τύχης παῖς κλῆρος ἐπὶ τούτῳ ταγείς'*

*τὰ χερσαῖα προεισάγει δίκαια τῶν ἐνάλων.*

*Σ. Καιρὸς οὖν, ὦ Ἀριστότιμε, σοὶ μὲν ἤδη λέγειν ἡμῖν δ᾽ ἀκούειν.*

9. *ΑΡΙΣΤΟΤΙΜΟΣ. Ἡ μὲν ἀγορὰ τοῖς δικαζομένοις* *** *τὰ δὲ τὸν γόνον ἀναλίσκει περὶ τὰς ἀποκυήσεις ἐπιτρέχοντα τοῖς θήλεσι· κεστρέως δὲ γένος, οὓς παρδίας καλοῦσιν, ἀπὸ τῆς μύξης τρέφονται τῆς ἑαυτῶν· ὁ δὲ πολύπους αὑτὸν ἐσθίων κάθηται χειμῶνος* (Hes. OD 525)

*'ἔν τ᾽ ἀπύρῳ οἴκῳ καὶ ἐν ἤθεσι λευγαλέοισιν·'*

*οὕτως ἀργὸς ἢ ἀναίσθητος ἢ γαστρίμαργος ἢ πᾶσι τούτοις ἔνοχός ἐστι. διὸ καὶ Πλάτων* (Legg. VII 823d) *αὖ*
F *πάλιν ἀπεῖπε νομοθετῶν μᾶλλον δ᾽ ἀπεύξατο τοὺς νέους θαλαττίου θήρας ἔρωτα λαβεῖν· οὐδὲν γὰρ ἀλκῆς γυμνάσιον οὐδὲ μελέτημα σοφίας οὐδ᾽ ὅσα πρὸς ἰσχὺν ἢ*